## ΠΑΡΑΣΚΕΥΗ 14 ΙΟΥΝΙΟΥ 2019

«Ἀπόδοσις τῆς ἑορτῆς τῆς Ἀναλήψεως».

Ἐλισσαίου τοῦ προφήτου (838 π.Χ.). Μεθοδίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ (†846). Κυρίλλου Γορτύνης τοῦ ἱερομάρτυρος (†299).

* * * * *

### ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

### ΕΝΑΡΞΙΣ - ΠΡΟΟΙΜΙΑΚΟΣ ΨΑΛΜΟΣ

Ὁ ἱερεύς· Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ἄρχεται ὁ ἀναγνώστης ἀναγινώσκων τὸν προοιμιακὸν ψαλμόν, λέγων οὕτω·

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ τῷ Βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ, Χριστῷ τῷ Βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ´ (103).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλῦψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς

δίψαν αὐτῶν.
Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει· ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.
Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ· ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.
Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς, καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.
Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ· καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας.
Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.
Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς.
Ἐποίησε σελήνην εἰς καιρούς· ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
Ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.
Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.
Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.
Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας· ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.
Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος· ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.
Ἐκεῖ πλοῖα διαπορεύονται· δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.
Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. Δόντος σου αὐτοῖς, συλλέξουσιν.
Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος· ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.
Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας· εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν· ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.
Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ· ἔθου σκότος, καὶ ἐγένετο νύξ.
Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (ἐκ γ´)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Εἶτα, Συναπτὴ μεγάλη ὑπὸ τοῦ Διακόνου.

## ΤΑ ΕΙΡΗΝΙΚΑ

Ὁ διάκονος· Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν κτλ.
Οἱ δὲ χοροὶ εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον μέχρι καὶ τῆς Ἀντιλαβοῦ, σῶσον...
Ὁ διάκονος· Τῆς Παναγίας, ἀχράντου...
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεύς· Ὅτι πρέπει σοι πᾶσα δόξα...
Ὁ χορός· Ἀμήν.

* * *

## Η ΣΤΙΧΟΛΟΓΙΑ ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ

Καὶ ψάλλεται τὸ Μακάριος ἀνήρ, ἤτοι ἡ α´ στάσις τοῦ α´ καθίσματος τοῦ ψαλτηρίου.

**(μόνον ὁ α´ ψαλμός, 6 στίχοι)**

* * *

Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

## ΟΙ ΕΠΙΛΥΧΝΙΟΙ ΨΑΛΜΟΙ

Ψαλμὸς ρμ´ (140).

Ἦχος Πα




Κυ υ ρι ι ι ε Κυ ρι ε ε κε κρα ξα προ ος
σε ε ει σα α α κου ου σο ον μου προσ σχες τη φω νη η η
η τη ης δε η η σε ω ω ως μου εν τω κε
κρα γε ναι αι με προ ος σε ε ει σα κου σο ν μου Κυ υ υ
υ ρ ι ι ι ε
Πα
Κ α τευ θυν θη τω η η η προ ο ο σε ευ χη η
μου ως θυ μι ι α α μα α ε νω ω ω πι ο
Κε
ο ον σου ε ε παρ σι ις των χει ρω ω ων μου θυ
Πα
σι α ε ε ε ε σπε ε ε ρι ι νη η η ει σα
κουσον μου Κυ υ υ υ ρι ι ι ε
Στιχολογία ὑπὸ Μανουὴλ Πρωτοψάλτου.
Πα
Θ ου Κυ ρι ε φυ λα κην τω στο μα τι ι μου και
θυ υ ραν πε ρι ο χης πε ρι τα χει λη μου
Πα
Μ η εκ κλι νης την καρ δι αν μου εις λο γους
πο νη ρι ι ας του προ φα σι ζε σθαι προ φα σεις εν α μα
ρτι ι αις


Σ υν αν θρω ποις ερ γα ζο με νοις την α νο μι ι αν
και ου μη συν δυ α α σω με τα των ε κλε κτων αυ των
Π αι δευ σει με δι και ος εν ε λε ει και ε
λεγ ξει με ε λαι ον δε α μαρ τω λου μη λι πα να τω την κε
φα λη ην μο
Ο τι ε τι και η προ σευ χη μου εν ταις ευ δο
κι αις αυ των κα τε πο θη σαν ε χο με να πε τρας
οι κρι ται αυ των
Α κου σον ται τα ρη μα τα μου ο τι η δυν θη
σαν ω σει πα χος γης ερ ρα γη ε πι της γης δι ε σκορ
πι σθη τα ο στα αυ των πα ρα τον Α α δην
Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθα λμοι
οι μου ε πι σοι ηλ πι σα μη αν τα νε λης την ψυ χη ην
μου
Φ υ λα ξο ον με α πο πα γι δος ης συ νε στη σαν
το μοι και α πο σκαν δα λων των ερ γα ζο με νων την α


νο μι αν
Πα
Π ε σου ουν ται εν α μφι βλη στρω αυ των οι α μα
ρτω λοι κα τα μο νας ει μι ε γω ε ως αν πα
ρε ελ θω
Φ ω νη μου προς Κυ ρι ον ε κε κρα ξα φω νη μου
προς Κυ ρι ον ε δε η η θην
Πα
Ε κ χε ω ε νω πι ον αυ του την δε η σι ιν
μου την θλι ψιν μου ε νω πι ον αυ του α παγ γε λω
Πα
Ε ν τω εκ λει πειν εξ ε μου το πνευ μα μου και
συ ε εγ νως τας τρι βους μου
Πα
Ε ν ο δω ταυ τη η ε πο ρευ ο ο μην ε κρυ ψαν
πα γι δα μοι
Πα
Κ α τε νο ουν εις τα δε ξι α και ε πε
βλε πον και ουκ ην ο ε πι γι νω σκων με
Πα
Α πω λε το φυ γη απ ε μου και ουκ ε στιν ο εκ
ζη τω ων την ψυ χη ην μου




## Εἰς τὸ Κύριε ἐκέκραξα,
## γ΄ τῆς ἑορτῆς, γ΄ τοῦ προφήτου,

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε Κύριε, τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

Ὁ Κύριος ἀνελήφθη εἰς οὐρανούς, ἵνα πέμψῃ τὸν Παράκλητον τῷ

κόσμῳ. Οἱ οὐρανοὶ ἡτοίμασαν τὸν θρόνον αὐτοῦ· νεφέλαι τὴν ἐπίβασιν αὐτοῦ. Ἄγγελοι θαυμάζουσιν, ἄνθρωπον ὁρῶντες ὑπεράνω αὐτῶν. Ὁ Πατὴρ ἐκδέχεται, ὃν ἐν κόλποις ἔχει συναΐδιον. Τὸ Πνεῦμα τὸ ἅγιον κελεύει πᾶσι τοῖς Ἀγγέλοις αὐτοῦ· Ἄρατε πύλας οἱ ἄρχοντες ἡμῶν. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ὅτι ἀνέβη Χριστός, ὅπου ἦν τὸ πρότερον.

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

Κύριε, τῇ σῇ, Ἀναλήψει, ἐξεπλάγησαν τὰ Χερουβίμ, θεωρήσαντά σε τὸν Θεόν, ἐπὶ νεφελῶν ἀνερχόμενον, τὸν ἐπ᾽ αὐτῶν καθεζόμενον, καὶ δοξάζομέν σε, ὅτι χρηστὸν τὸ ἔλεός σου, δόξα σοι.

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

Ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, θεωροῦντες σου τὰς ὑψώσεις Χριστέ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρός, ἀνυμνοῦμεν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφήν· προσκυνοῦμεν σου τὰ παθήματα· τιμῶμεν τὴν Ἀνάστασιν, τὴν ἔνδοξον Ἀνάληψιν δοξάζοντες· ἐλέησον ἡμᾶς.

Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος Νη

Στίχ. δ΄. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος, καὶ πολλὴ παρ᾽ αὐτῷ λύτρωσις· καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.



νος των ευ φη μϒ ϒν των σε

Στίχ. ε΄. Αἰνεῖτε τὸν Κύριον, πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτόν, πάντες οἱ λαοί.

Σε Ε λισ σαι ε μα κα ρι ε ο ζη λω της Η
λι ου εν δι πλω τω χα ρισ μα τι κα τα λαμ πρυ νο
με νον κα τα λει ψας αι θε ρι ος αρ μα τη
λα α της ον τως ε δει κνυ το ου τη μι μη η σει
ρει θρα πο τα μι α χα α ρι τι ε στη σας και
δι ηλ θες εν δο ξε πε ρι χα ρως κα τα γλα ϊ ζο με
νος και με γα λυ υ νων Χρι στον

Στίχ. ϛ΄. Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.

Πα λαι πι στη Σω μα νι τι δι παι δα χα ρι
ζη ευ χης ον θα νον τα ε ξη γει ρας ως Προ φη της
εν θε ος ι ε ρως θαυ μα ζο με νος αλ σι δε
πα α λιν υ δα τα α γο να σα φως με τα α γεις




## δόξα τοῦ προφήτου, καὶ νῦν τῆς ἑορτῆς

Ἦχος Πα




Κ Πα αι νυ υ υ υν και αι αι α α ει και εις
τȣ ȣ ȣς αι αι ω ω ω νας των αι ω ω ω
νων α α α μην
Τ ων κολ πων των πα τρι κω ων μη χω ω ρι ι σθεις
γλυ κυ υ τα α α τε Ι ι η η η η σου και
τοι οις ε πι ι γης ως αν θρω πος συ υ υ να
να α στρα α α α φεις ση με ρον απ ο ρους τω ω
ων Ε λαι αι ων α νε λη φθη ης ε ε εν δο ο
ο ξη η και την πε σου σαν φυ υ υ σι ιν
η η η μων συμ πα θω ως α α α νυ υ ψω
ω ω σας τω Πα τρι ι συ υ υ νε κα α θι ι ι
ι σας ο θεν αι αι ου ου ρα α νι ι ι αι
των α σω μα α α τω ων τα α α ξεις το θα αυ μα
ε εκ πλητ το ο ο ο με ε ε ε ναι ε ξι
στα αν το θα α αμ βει ει και τρο μω συ




ΕΙΣΟΔΟΣ - ΕΠΙΛΥΧΝΙΟΣ ΕΥΧΑΡΙΣΤΙΑ

Ψαλλομένου τοῦ Καὶ νῦν γίνεται ἡ εἴσοδος ὑπὸ τοῦ ἱερέως καὶ τοῦ διακόνου.

Ὁ διάκονος· Σοφία· ὀρθοί.

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης
τὴν ἐπιλύχνιον εὐχαριστίαν χῦμα·

Φῶς ἱλαρὸν ἁγίας δόξης, * ἀθανάτου Πατρός, * οὐρανίου, ἁγίου, μάκαρος, * Ἰησοῦ Χριστέ, * ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, * ἰδόντες φῶς ἑσπερινόν, * ὑμνοῦμεν Πατέρα, Υἱόν, * καὶ ἅγιον Πνεῦμα, Θεόν. * Ἄξιόν σε ἐν πᾶσι καιροῖς * ὑμνεῖσθαι φωναῖς

αἰσίαις, * Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς· * διὸ ὁ κόσμος σὲ δοξάζει.

Ἐὰν δὲ εἰσοδεύουν δύο ἢ περισσότεροι ἱερεῖς, ψάλλουν αὐτοὶ τὴν ἐπιλύχνιον εὐχαριστίαν.

Φῶς ἱλαρόν. Μέλος παλαιόν, ἐξήγησις Σίμωνος Ι. Καρᾶ.

Ἦχος Δι






## ΤΟ ΠΡΟΚΕΙΜΕΝΟΝ

Ὁ διάκονος· Ἑσπέρας προκείμενον.

Καὶ ψάλλεται τὸ προκείμενον τῆς ἡμέρας.

Τῇ Πέμπτῃ ἑσπέρας.

Ἦχος πλ. β΄. Ψαλμὸς ρκ΄.

Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. (ρκ΄ 2)

Στίχ. α΄. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. (ρκ΄ 1)

Στίχ. β΄. Μὴ δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. (ρκ΄ 34)

## ΤΑ ΑΝΑΓΝΩΣΜΑΤΑ

Καὶ τὰ ἐφεξῆς ἀναγνώσματα.

Βασιλειῶν Γ΄ τὸ Ἀνάγνωσμα.

(Γ΄, ιθ΄ 15-21 & Δ΄, β΄ 1-22).

Εἶπε Κύριος πρὸς Ἠλιού, πορεύου, ἀνάστρεφε εἰς τὴν ὁδόν σου· καὶ ἥξεις εἰς τὴν ὁδὸν ἐρήμου Δαμασκοῦ· καὶ ἥξεις, καὶ χρίσεις τὸν Ἐλισσαιὲ υἱὸν Σαφὰτ ἀπὸ Ἀβελμαουλὰ εἰς Προφήτην ἀντὶ σοῦ. Καὶ ἀπῆλθεν ἐκεῖθεν, καὶ εὑρίσκει τὸν Ἐλισσαιὲ υἱὸν Σαφάτ, καὶ αὐτὸς ἠροτρία ἐν βουσί· δώδεκα ζεύγη βοῶν ἐνώπιον αὐτοῦ, καὶ αὐτὸς ἐν τοῖς δώδεκα· καὶ ἀπῆλθεν Ἐλισσαιὲ ἐπ᾽ αὐτόν, καὶ ἐπέῤῥιψε τὴν μηλωτὴν αὐτοῦ ἐπ᾽ αὐτόν. Καὶ κατέλιπεν Ἐλισσαιὲ τοὺς βόας καὶ ἐπέδραμεν ὀπίσω Ἠλιού, καὶ εἶπε· καταφιλήσω τὸν πατέρα μου καὶ τὴν μητέρα μου, καὶ ἀκολουθήσω ὀπίσω σου· καὶ εἶπεν αὐτῷ· πορεύου, ἀνάστρεφε, ὅτι πεποίηκά σοι. Καὶ ἀνέστρεψεν ἐξ ὄπισθεν αὐτοῦ· καὶ ἔλαβε τὸ ζεῦγος τῶν βοῶν, καὶ ἔθυσε, καὶ ἐν τοῖς σκεύεσι τῶν βοῶν ἥψησεν αὐτά, καὶ ἔδωκε τῷ λαῷ καὶ ἔφαγον· καὶ ἀνέστη, καὶ ἐπορεύθη ὀπίσω Ἠλιού, καὶ ἐλειτούργει αὐτῷ.

Καὶ ἐγένετο ἐν τῷ ἀνάγειν Κύριον τὸν Ἠλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν Οὐρανόν, καὶ ἐπορεύθη Ἠλιοὺ καὶ Ἐλισσαιὲ ἐκ Γαλγάλων. Καὶ εἶπεν Ἠλιοὺ πρὸς Ἐλισσαιέ· κάθου δὴ ἐνταῦθα ὅτι Κύριος ἀπέσταλκέ με ἕως Βαιθήλ. Καὶ εἶπεν Ἐλισσαιέ· ζῇ

Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἦλθον εἰς Βαιθήλ. Καὶ ἦλθον οἱ υἱοὶ τῶν Προφητῶν οἱ εἰς Βαιθὴλ πρὸς Ἐλισσαιέ, καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως, ὅτι Κύριος σήμερον λαμβάνει τὸν κύριόν σου ἀπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε· καί γε ἐγὼ ἔγνωκα, σιωπᾶτε. Καὶ εἶπεν Ἠλιοὺ πρὸς Ἐλισσαιέ· κάθου δὲ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με εἰς Ἰεριχώ. Καὶ εἶπεν Ἐλισσαιέ· ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἦλθον εἰς Ἰεριχώ. Καὶ ἤγγισαν οἱ υἱοὶ τῶν Προφητῶν οἱ ἐν Ἰεριχὼ πρὸς Ἐλισσαιὲ καὶ εἶπον πρὸς αὐτόν· εἰ ἔγνως ὅτι σήμερον λαμβάνει Κύριος τὸν κύριόν σου ἀπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε· καί γε ἐγὼ ἔγνωκα, σιωπᾶτε· Καὶ εἶπεν αὐτῷ Ἠλιού· κάθου δὴ ὧδε ὅτι Κύριος ἀπέσταλκέ με εἰς τὸν Ἰορδάνην· Καὶ εἶπεν Ἐλισσαιέ· ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. Καὶ ἐπορεύθησαν ἀμφότεροι, καὶ πεντήκοντα ἄνδρες υἱοὶ τῶν Προφητῶν, καὶ ἔστησαν ἐξεναντίας μακρόθεν. Καὶ ἀμφότεροι ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἠλιοὺ τὴν μηλωτὴν αὐτοῦ καὶ εἴλησε, καὶ ἐπάταξε τὸ ὕδωρ, καὶ διῃρέθη τὸ ὕδωρ ἔνθα καὶ ἔνθα· καὶ διέβησαν ἀμφότεροι ἐν ἐρήμῳ. Καὶ ἐγένετο ἐν τῷ διαβῆναι αὐτούς, καὶ Ἠλιοὺ εἶπε πρὸς Ἐλισσαιέ· αἴτησαι τί ποιήσω σοι πρὸ τοῦ ἀναληφθῆναί με ἀπὸ σοῦ. Καὶ εἶπεν Ἐλισσαιέ· γενηθήτω δὴ τὸ Πνεῦμα τὸ ἐπὶ σοὶ δισσῶς ἐπ' ἐμοί. Καὶ εἶπεν Ἠλιού· ἐσκλήρυνας τοῦ αἰτήσασθαι· πλήν, ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, ἔσται σοι οὕτως· ἐὰν δὲ μήν ἴδῃς, οὐ μὴ γένηται. Καὶ ἐγένετο αὐτῶν πορευομένων καὶ λαλούντων, καὶ ἰδοὺ ἅρμα πυρός, καὶ ἵπποι πυρός, καὶ διεχώρησεν ἀναμέσον ἀμφοτέρων, καὶ ἀνελήφθη Ἠλιοὺ ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν. Καὶ Ἐλισσαιὲ ἑώρα, καὶ αὐτὸς ἐβόα· πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ· καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι· καὶ ἐκράτησεν Ἐλισσαιὲ τοῦ ἱματίου αὐτοῦ καὶ διέῤῥηξεν αὐτὸ εἰς δύο. Καὶ ἀνείλετον τὴν μηλωτὴν Ἠλιοὺ Ἐλισσαιέ, τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ. Καὶ ἐπέστρεψεν Ἐλισσαιὲ καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἐλισσαιὲ τὴν μηλωτὴν Ἠλιοὺ τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὰ ὕδατα, καὶ οὐ διῃρέθη. Καὶ εἶπεν Ἐλισσαιέ. Ποῦ ἔστιν ὁ Θεὸς Ἠλιοὺ Ἀπφώ; Καὶ ἐπάταξεν Ἐλισσαιὲ τὰ ὕδατα ἐκ δευτέρου· καὶ διῃρέθη τὰ ὕδατα, καὶ διῆλθε διὰ ξηρᾶς.

Καὶ εἶδον αὐτὸν οἱ υἱοὶ τῶν Προφητῶν οἱ ἐν Ἰεριχὼ ἐξεναντίας καὶ εἶπον· ἐπαναπέπαυται τὸ πνεῦμα Ἠλιοὺ ἐπὶ Ἐλισσαιέ. Καὶ ἦλθον εἰς συνάντησιν αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν. Καὶ αὐτὸς ἐκάθητο ἐν Ἰεριχώ· καὶ εἶπον οἱ ἄνδρες τῆς πόλεως πρὸς Ἐλισσαιέ. Ἰδοὺ ἡ κατοίκησις τῆς πόλεως ἀγαθή, καθὼς σύ, Κύριε, βλέπεις, καὶ τὰ ὕδατα πονηρά, καὶ ἡ γῆ ἀτεκνουμένη. Καὶ

εἶπεν Ἐλισσαιέ· λάβετέ μοι ὑδρίσκην καινήν, καὶ θέσθε ἐκεῖ ἅλας. Καὶ ἔλαβεν αὐτό, καὶ ἐξῆλθεν ἐπὶ τὴν διέξοδον τῶν ὑδάτων, καὶ ἔῤῥιψεν ἐκεῖ τὸ ἅλας, καὶ εἶπε. Τάδε λέγει Κύριος· ἴαμαι τὰ ὕδατα ταῦτα· οὐκέτι ἔσται ἐκεῖθεν ἀποθνήσκων, οὐδὲ ἀτεκνουμένη δι' αὐτά. Καὶ ἰάθη τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης, κατὰ τὸ ῥῆμα ὃ ἐλάλησεν Ἐλισσαιέ.

## Βασιλειῶν Δ´ τὸ ἀνάγνωσμα.

(ε´, ἐκλογὴ στίχων).

Καὶ Νεεμὰν ὁ ἄρχων τῆς δυνάμεως τῆς Συρίας ἦν ἀνὴρ μέγας ἐνώπιον τοῦ κυρίου αὐτοῦ. Καὶ ὁ ἀνὴρ ἦν δυνατὸς ἰσχύϊ, λελεπρωμένος. Καὶ ἐγένετο ὡς ἤκουσεν Ἐλισσαιὲ ἄνθρωπος Θεοῦ, εἶπεν· ἐλθέτω δὴ πρὸς μὲ Νεεμάν, καὶ γνώτω ὅτι ἐστὶ προφήτης ἐν Ἰσραήλ. Καὶ ἦλθε Νεεμὰν αὐτοῖς ἅρμασιν αὐτοῦ καὶ ἵπποις αὐτοῦ, καὶ ἔστη ἐπὶ τῆς θύρας τοῦ οἴκου Ἐλισσαιέ. Καὶ ἀπέστειλεν Ἐλισσαιὲ ἄγγελον πρὸς αὐτὸν λέγων. Πορευθείς, λοῦσαι ἐν τῷ Ἰορδάνῃ ἑπτάκις καὶ ἐπιστρέψει ἡ σάρξ σου ἐπὶ σοὶ καὶ καθαρισθήσῃ. Καὶ ἐθυμώθη Νεεμάν, καὶ ἀπῆλθε καὶ εἶπεν. Ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεται πρός με, καὶ ἐπικαλέσεται ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτοῦ, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ λεπρόν, καὶ ἀποσυνάξει αὐτὸ ἀπὸ τῆς σαρκός μου. Οὐκ ἀγαθὸς Ἀβανὰ καὶ Φαρφάρ, ποταμοὶ Δαμασκοῦ, ὑπὲρ τὸν Ἰορδάνην καὶ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ; οὐχὶ πορευθεὶς λούσομαι καὶ καθαρισθήσομαι; Καὶ ἀπέστρεψε καὶ ἀπῆλθεν ἐν θυμῷ. Καὶ προσῆλθον οἱ παῖδες αὐτοῦ, καὶ εἶπον πρὸς αὐτόν. Πάτερ, εἰ μέγαν λόγον ἐλάλησε πρὸς σὲ ὁ Προφήτης, οὐκ ἂν ἐποίησας; Καὶ ὅτι εἶπε πρός σε, λοῦσαι καὶ καθαρίσθητι; Καὶ κατέβη Νεεμάν, καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

## Βασιλειῶν Δ´ τὸ Ἀνάγνωσμα.

(δ´ 8-37).

Ἐγένετο ἡμέρα καὶ διέβη Ἐλισσαιὲ εἰς Σωμάν· καὶ ἐκεῖ, γυνὴ μεγάλη, καὶ ἐκράτησεν αὐτὸν φαγεῖν ἄρτον· καὶ ἐγένετο ἀφ' ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτόν, ἐξέκλινε τοῦ ἐκεῖ φαγεῖν ἄρτον. Καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς. Ἰδοὺ δὴ ἔγνων ὅτι ἄνθρωπος τοῦ Θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ' ἡμᾶς διαπαντός· ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον, τόπον μικρόν, καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην, καὶ τράπεζαν καὶ δίφρον καὶ λυχνίαν. Καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι αὐτὸν πρὸς ἡμᾶς καὶ ἐκκλινεῖ ἐκεῖ. Καὶ ἐγένετο ἡμέρα, καὶ εἰσῆλθεν ἐκεῖ, καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον, καὶ ἐκοιμήθη ἐκεῖ. Καὶ εἶπε πρὸς Γιεζί, τὸ παιδάριον

αὐτοῦ. Κάλεσόν μοι τὴν Σωμανῖτιν ταύτην. Καὶ ἐκάλεσεν αὐτήν· καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ εἶπεν αὐτῷ. Εἶπον δὴ πρὸς αὐτήν· Ἰδοὺ ἐξέστησας ἡμῖν πᾶσαν τὴν ἔκστασιν ταύτην· τί δεῖ ποιῆσαί σοι; Εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα, ἢ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως; Ἡ δὲ εἶπεν· Ἐν μέσῳ τοῦ λαοῦ μου ἐγώ εἰμι οἴκῳ ἡσυχάζουσα. Καὶ εἶπε πρὸς Γιεζί· Τί δεῖ ποιῆσαι αὐτῇ; Καὶ εἶπε Γιεζί, τὸ παιδάριον αὐτοῦ. Καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ· καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης. Καὶ εἶπε· κάλεσον αὐτήν· καὶ ἐκάλεσεν αὐτήν, καὶ ἔστη παρὰ τὴν θύραν. Καὶ εἶπεν Ἐλισσαιὲ πρὸς αὐτήν· Εἰς τὸν καιρὸν τοῦτον, ὥρα αὐτὴ ὡς ἡ ζῶσα καὶ σύ, περιειληφυῖα υἱόν. Ἡ δὲ εἶπε· Μὴ κύριε, ἄνθρωπε τοῦ Θεοῦ, μὴ διαψεύσῃ τὴν δούλην σου. Καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνή, καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν Ἐλισσαιέ. Καὶ ἡνδρύνθη τὸ παιδάριον· καὶ ἐγένετο ἡνίκα ἐξῆλθε τὸ παιδάριον πρὸς τὸν πατέρα αὐτοῦ, πρὸς τοὺς θερίζοντας, καὶ εἶπε πρὸς τὸν πατέρα αὐτοῦ· Τὴν κεφαλήν μου, τὴν κεφαλήν μου. Καὶ εἶπε τῷ παιδαρίῳ· Ἆρον αὐτὸν πρὸς τὴν μητέραν αὐτοῦ. Καὶ ἐκοιμήθη ἐπὶ τῶν γονάτων αὐτῆς ἕως μεσημβρίας, καὶ ἀπέθανε. Καὶ ἀνήνεγκεν αὐτὸν καὶ ἐκοίμησεν αὐτὸν ἐπὶ τὴν κλίνην τοῦ ἀνθρώπου τοῦ Θεοῦ· καὶ ἀπέκλεισε κατ᾿ αὐτοῦ, καὶ ἐξῆλθε. Καὶ ἐκάλεσε τὸν ἄνδρα αὐτῆς, καὶ εἶπεν· Ἀπόστειλον δή μοι ἓν τῶν παιδαρίων καὶ μίαν τῶν ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ἐπιστρέψω. Καὶ εἶπε· Τί ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν σήμερον; οὐ νεομηνία, οὐδὲ σάββατον· ἡ δὲ εἶπεν· Εἰρήνη. Καὶ ἐπέσαξε τὴν ὄνον, καὶ εἶπε πρὸς τὸ παιδάριον αὐτῆς· Ἄγε, καὶ πορεύου· μὴ ἐπίσχῃς μοι τοῦ ἐπιβῆναι, ὅτι ἂν εἴπω σοι· δεῦρο, καὶ πορεύσῃ, καὶ ἐλεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ, εἰς ὄρος τὸ Καρμήλιον. Καὶ ἐπορεύθη, καὶ ἦλθεν ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ εἰς τὸ ὄρος τὸ Καρμήλιον. Καὶ ἐγένετο ὡς εἶδεν Ἐλισσαιὲ ἐρχομένην αὐτήν, καὶ εἶπε πρὸς Γιεζί, τὸ παιδάριον αὐτοῦ· Ἴδε ἡ Σωμανῖτις ἐκείνη. Νῦν δράμε εἰς ὑπάντησιν αὐτῆς, καὶ ἐρεῖς αὐτῇ· Εἰρήνη σοι. Εἰρήνη τῷ ἀνδρί σου. Εἰρήνη τῷ παιδαρίῳ. Ἡ δὲ εἶπεν· Εἰρήνη. Καὶ ἦλθε πρὸς τὸν Ἐλισσαιὲ εἰς τὸ ὄρος, καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ· καὶ ἤγγισε Γιεζὶ ἀπώσασθαι αὐτήν. Καὶ εἶπεν Ἐλισσαιέ· Ἄφες αὐτῇ, ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ· καὶ Κύριος ἀπέκρυψεν ἀπ᾿ ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι. Ἡ δὲ εἶπε· Μὴ ᾐτησάμην υἱὸν παρὰ τοῦ Κυρίου μου, ὅτι οὐκ εἶπον οὐ πλανήσῃ μετ᾿ ἐμοῦ; Καὶ εἶπεν Ἐλισσαιὲ τῷ Γιεζί· Ζῶσαι τὴν ὀσφύν σου, καὶ λάβε τὴν βακτηρίαν μου ἐν τῇ χειρί σου, καὶ δεῦρο, ὅτι ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτόν· καὶ ἐὰν εὐλογήσῃ σε ἀνήρ, οὐκ ἀποκριθήσῃ αὐτῷ· καὶ ἐπιθήσεις τὴν βακτηρίαν μου ἐπὶ τὸ

πρόσωπον τοῦ παιδαρίου. Καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου· Ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. Καὶ ἀνέστη Ἐλισσαιέ, καὶ ἐπορεύθη ὀπίσω αὐτῆς. Καὶ Γιεζὶ διῆλθεν ἔμπροσθεν αὐτῆς, καὶ ἐπέθηκε τὴν βακτηρίαν εἰς τὸ πρόσωπον τοῦ παιδαρίου· καὶ οὐκ ἦν φωνή, οὐκ ἦν ἀκρόασις· καὶ ὑπέστρεψεν εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἀπήγγειλεν αὐτῷ λέγων· Οὐκ ἠγέρθη τὸ παιδάριον. Καὶ εἰσῆλθεν Ἐλισσαιὲ εἰς τὸν οἶκον καὶ ἰδοὺ τὸ παιδάριον τεθνηκός, κεκοιμημένον ἐπὶ τὴν κλίνην αὐτοῦ. Καὶ εἰσῆλθεν Ἐλισσαιὲ εἰς τὸν οἶκον, καὶ ἀπέκλεισε τὴν θύραν κατὰ τῶν δύο αὐτῶν, καὶ προσηύξατο πρὸς Κύριον· καὶ ἀνέβη, καὶ ἐκοιμήθη ἐπὶ τὸ παιδάριον· καὶ ἔθηκε τὸ στόμα αὐτοῦ ἐπὶ τὸ στόμα αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας αὐτοῦ, καὶ ἐνεφύσησεν αὐτό, καὶ διέκαμψεν ἐπ' αὐτὸν καὶ διεθερμάνθη ἡ σὰρξ τοῦ παιδαρίου. Καὶ ἐπέστρεψε καὶ ἐπορεύθη ἐν τῇ οἰκίᾳ· ἔνθεν καὶ ἔνθεν· καὶ ἀνέβη καὶ συνεκάλυψεν ἐπὶ τὸ παιδάριον ἕως ἑπτάκις· καὶ ἤνοιξε τὸ παιδάριον τοὺς ὀφθαλμοὺς αὐτοῦ. Καὶ ἐξεβόησεν Ἐλισσαιὲ πρὸς Γιεζί, καὶ εἶπε· Κάλεσόν μοι τὴν Σωμανῖτιν ταύτην. Καὶ ἐκάλεσεν αὐτήν, καὶ εἰσῆλθε πρὸς αὐτόν. Καὶ εἶπεν Ἐλισσαιέ· Λάβε τὸν υἱόν σου. Καὶ εἰσῆλθεν ἡ γυνὴ καὶ ἔπεσε παρὰ τοὺς πόδας αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν. Καὶ ἔλαβε τὸν υἱὸν αὐτῆς· καὶ ἐξῆλθεν.

* * *

## ΑΙ ΔΕΗΣΕΙΣ

Ὁ διάκονος τὴν ἐκτενῆ δέησιν· Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς κτλ.

Ὁ χορὸς εἰς ἑκάστην δέησιν τὸ Κύριε, ἐλέησον τρίς, εἰς δὲ τὴν τελευταίαν ἅπαξ.

Ὁ ἱερεύς· Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...

Ὁ χορός· Ἀμήν.

### Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα· συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε· φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

## [τῆς λιτῆς ἰδιόμελα, δέησις] (ἴδωμεν...)

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ψαλλομένων τῶν ἰδιομέλων τῆς λιτῆς, ὁ ἱερεὺς λαβὼν τὴν εἰκόνα τῆς ἀγομένης ἑορτῆς, προηγουμένου τοῦ διακόνου μετὰ τοῦ θυμιατοῦ, ἔρχεται εἰς τὴν λιτὴν (ἐσωνάρθηκα) καὶ ἀποθέτει τὴν εἰκόνα εἰς τὸ τετραπόδιον· καὶ ὁ διάκονος (ἢ ὁ ἱερεὺς) θυμιᾷ αὐτὴν σταυροειδῶς καὶ τὸν λαόν.

Σημ. Τὸ παρὸν πρῶτον ἰδιόμελον παραληφθὲν ἐκ τῆς λιτῆς τοῦ προφήτου Ἠλιοὺ ψάλλεται ἐν ταῖς Ἀγρυπνίαις ἐν τῷ Ναῷ τοῦ Προφήτου Ἐλισσαίου. Ἐκ σεβασμοῦ δὲ πρὸς τὴν μακρὰν συνήθειαν, ἐτηρήσαμεν αὐτό.

Ἦχος α΄. Γερμανοῦ.

Πνευματικοῖς ᾄσμασι, τοὺς Προφήτας τοῦ Χριστοῦ, ἅπαντες εὐφημήσωμεν. Ἠλίας γὰρ ὁ θεσβίτης, οὐρανοδρόμος γέγονε, καὶ μηλωτῇ Ἐλισσαῖος, τὴν χάριν ἐδέξατο διπλῆν παρὰ Θεοῦ· καὶ φωστῆρες φαιδροί, τῇ οἰκουμένῃ ἀνεδείχθησαν, πρεσβεύοντες ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός. Γεωργίου Ῥήγα.

Ἀσματικῶς σήμερον πιστοί, τὸν Προφήτην Κυρίου ὕμνοις τιμήσωμεν, τὸν θεῖον Ἐλισσαῖον καὶ παμφαῆ φωστῆρα τῆς οἰκουμένης· τὸν ἄϋλον ἐπὶ γῆς βιοτὴν ἐπιδειξάμενον, καὶ καθαρθέντι λογισμῷ, τὰς αὐγὰς τοῦ Πνεύματος εἰσδεξάμενον· τὴν ἀκένωτον πηγὴν τῶν θαυμάτων, καὶ Προφητῶν ἐξαίρετον ἐγκαλλώπισμα. Πρεσβεύει γὰρ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος ὁ αὐτός.

Λαμπρὰ καὶ φωτοφανὴς ἀνέτειλεν, ἡ μνήμη σου Προφῆτα, ἐν τῷ στερεώματι τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, τῶν πιστῶν τὰς καρδίας καταυγάζουσα· ἐν ᾗ συνελθόντες οἱ φιλέορτοι, τοῖς ᾄσμασι καταστέφομεν, σὲ τὸν ἀοίδιμον καὶ πανέντιμον, ἔχοντες τὸν Ναόν σου θαυμάτων καὶ ἰάσεων πλουσιόβρυτον κρήνην, προχέοντα ὡς νάματα, τῶν ψυχικῶν ἡμῶν καὶ σωματικῶν τραυμάτων τὴν ἰατρείαν. Δεῦτε οὖν ἅπαντες ἱκετικῶς πρὸς αὐτὸν ἀνακράξωμεν· Θεηγόρε Προφῆτα τοῦ Χριστοῦ, ὁ τῷ θρόνῳ τῆς μεγαλωσύνης τοῦ Θεοῦ παρεστώς, μὴ παύσῃ πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Προφῆτα τοῦ Χριστοῦ, καὶ προόπτα τῶν αὐτοῦ μυστηρίων, ὁ μεγαλουργήσας τοῖς θαύμασιν ἐν τῷ Ἰσραήλ, τὴν ποίμνην σου, τὴν ἐξόχως σὲ τιμῶσαν περιφύλαττε, ῥυόμενος αὐτὴν ἀπὸ πάσης νόσου καὶ βλάβης τῶν ἐναντίων. Ὁ ἰασάμενος τὰ ἄγονα ὕδατα, καὶ τὰς ἀκάρπους ψυχὰς ἡμῶν ἴασαι, πρεσβεύων ἀπαύστως πρὸς τὸν φιλάνθρωπον Θεόν, ὑπὲρ ἡμῶν Ἐλισσαιὲ πανσεβάσμιε.

Ὁ αὐτός.

Ὁ τῶν ἀῤῥήτων μυστηρίων ἐπόπτης, Ἐλισσαῖος ὁ μεγαλώνυμος, ἐπέφανεν ἡμῖν σήμερον ἐν τῇ φαιδρᾷ αὐτοῦ μνήμῃ, διανέμων τὰς αὐτοῦ δωρεὰς ἀπὸ τῶν πλουσίων χαρισμάτων τοῦ Πνεύματος. Ἀγαλλιασώμεθα οὖν φιλέορτοι καὶ εὐφρανθῶμεν, καὶ ἐν φωναῖς ᾀσμάτων μελῳδικῶν, τῇ δόξῃ αὐτοῦ προσπελάσωμεν, τὰ πρὸς σωτηρίαν αἰτούμενοι· φιλάνθρωπος γὰρ ὤν, ἐλεεῖ τοὺς μετὰ πίστεως καὶ εὐλαβείας, τὴν μνήμην αὐτοῦ ἑορτάζοντας.

Ἦχος β΄.

Ἠλίας ὁ θεόπτης καὶ ζηλωτής, ἐν πυρίνῳ τεθρίππῳ ὡς εἰς οὐρανοὺς ἀνέβαινεν. Ἐλισσαῖος δὲ τῆς μηλωτῆς ἐκείνου κληρονόμος, καὶ μυστιπόλος τῶν θείων ἐμφάσεων, λαμπρὰν ὁδὸν ἐν τῷ Ἰσραὴλ ἐστέλλετο, καταγλαΐζων τὸν κόσμον ταῖς τῶν θαυμάτων ἀστραπαῖς. Πρὸς ὃν καὶ ἡμεῖς νῦν, οἱ τελοῦντες τὴν μνήμην αὐτοῦ τὴν πανέορτον, ἀναβοήσωμεν· Ἐλισσαιὲ πανένδοξε, ἐπίβλεψον καὶ ἐπὶ τὴν ἡμῶν ἀσθένειαν, καὶ παράσχου ταῖς σαῖς πρεσβείαις, εἰρήνην τῷ λαῷ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α΄.

Σαλπίσωμεν ἐν σάλπιγξιν ᾀσμάτων, χορεύσομεν φιλέορτοι, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ εὐσήμῳ προφητικῇ πανηγύρει, τῆς Ἐκκλησίας Χριστοῦ. Σήμερον γὰρ ὁ χορὸς τῶν Προφητῶν, συνεορτάζων τοῖς πιστοῖς ἀοράτως ἐφέστηκε, καὶ τὸν τὴν χάριν τοῦ Πνεύματος διπλῆν λαβόντα, ἔνδοξον Προφήτην Κυρίου, τοῖς ᾄσμασιν ὡς ἐν στέμμασι καταστέφει· τὸν ἰσαγγέλως ἐπὶ γῆς βιώσαντα ὡς ἄσαρκον, τὸν ἄσκευον καὶ ἀκτήμονα, καὶ τῆς παρθενίας τὸ οὐρανόπεμπτον κειμήλιον· τὸν καταλιπόντα τὰ πάντα, καὶ τῷ καλέσαντι ἀκολουθήσαντα Θεσβίτῃ· τὸν ποταμὸν τὸν ἀείῤῥοον τῶν θαυμάτων, τὴν πηγὴν τῶν ἰάσεων, τὸν τὴν δύναμιν καὶ ἐπὶ τῶν στοιχείων λαβόντα· αὐτὸν οὖν σήμερον καὶ ἡμεῖς ἐγκωμιάζοντες, οὕτως εἴπωμεν. Προφητῶν ἐξαίρετον ἀγλάϊσμα, Ἐλισσαιὲ μεγαλώνυμε, μὴ διαλίπῃς δεόμενος ὑπὲρ ἡμῶν πρὸς Κύριον, τῶν τελούντων ἐν πίστει, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἀῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Πληρωθέντων δὲ τῶν ἰδιομέλων, αἱ συνήθεις αἰτήσεις καὶ εὐχαί, ἔνθα μνημονεύονται καὶ τὰ ὀνόματα ζώντων καὶ τεθνεώτων ὡς ἔθος.

Ὁ διάκονος (ἢ ὁ ἱερεύς)·

Σῶσον, ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων· ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον γ΄.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν ἔθνους, πάσης ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ καὶ τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, κράτους, νίκης, διαμονῆς, ὑγείας καὶ σωτηρίας αὐτῶν καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν πάντα ἐχθρὸν καὶ πολέμιον.

Ὁ χορός· Κύριε, ἐλέησον γ΄.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν (δεῖνος), [τοῦ πατρὸς ἡμῶν (δεῖνος) ἱερομονάχου] καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ὁ χορός· Κύριε, ἐλέησον γ΄.

Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς χριστιανῶν θλιβομένης τε καὶ καταπονουμένης, ἐλέους Θεοῦ καὶ βοηθείας ἐπιδεομένης· σκέπης τῆς πόλεως (ἢ τῆς ἁγίας μονῆς) ταύτης καὶ τῶν κατοικούντων ἐν αὐτῇ· εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος κόσμου· εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν· σωτηρίας καὶ βοηθείας τῶν μετὰ σπουδῆς καὶ φόβου Θεοῦ κοπιώντων καὶ διακονούντων πατέρων καὶ ἀδελφῶν ἡμῶν· ὑπὲρ τῶν ἀπολειφθέντων καὶ τῶν ἐν ἀποδημίαις ὄντων· ἰάσεως τῶν ἐν ἀσθενείαις κατακειμένων· ὑπὲρ ἀνέσεως, μακαρίας μνήμης καὶ ἀφέσεως ἁμαρτιῶν πάντων τῶν προαπελθόντων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς κειμένων καὶ ἁπανταχοῦ ὀρθοδόξων· ὑπὲρ ἀναρρύσεως τῶν αἰχμαλώτων καὶ ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν τῶν ἐν ταῖς διακονίαις ὄντων καὶ πάντων τῶν διακονούντων καὶ διακονησάντων ἐν τῷ ἁγίῳ οἴκῳ τούτῳ εἴπωμεν.

Οἱ χοροί· Κύριε, ἐλέησον μ΄ (τετράκις ἀνὰ ι΄) καὶ γ΄.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν ἐκκλησίαν (ἢ τὴν ἁγίαν μονὴν) καὶ τὴν πόλιν (ἢ χώραν ἢ νῆσον) ταύτην καὶ πᾶσαν (μονήν,) πόλιν καὶ χώραν ἀπὸ λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καὶ ἐμφυλίου πολέμου· καὶ ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς.

Οἱ χοροὶ καὶ πάλιν τὸ Κύριε, ἐλέησον μ´ καὶ γ´.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ χορός· Κύριε, ἐλέησον γ´.

Ὁ ἱερεὺς ἐκφώνως·

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν καὶ ἐλέησον ἡμᾶς· ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἱερεὺς εὐλογῶν· Εἰρήνη πᾶσι.

Ὁ χορός· Καὶ τῷ πνεύματί σου.

Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Ὁ χορός· Σοί, Κύριε.

Καὶ ὁ ἱερεὺς κλινόμενος ἐπεύχεται μεγαλοφώνως·

Δέσποτα πολυέλεε, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων ἐπουρανίων δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου προφήτου, προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων ἀποστόλων· τῶν ἁγίων, ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων πατέρων ἡμῶν· τοῦ ἁγίου (τοῦ ναοῦ)· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης· τοῦ ἁγίου (τῆς ἡμέρας), οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν, καὶ πάντων σου τῶν ἁγίων· εὐπρόσδεκτον ποίησον τὴν δέησιν ἡμῶν· δώρησαι ἡμῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων ἡμῶν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου· ἀποδίωξον ἀφ' ἡμῶν πάντα ἐχθρὸν καὶ πολέμιον· εἰρήνευσον ἡμῶν τὴν ζωήν· Κύριε, ἐλέησον ἡμᾶς καὶ τὸν κόσμον σου καὶ σῶσον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὁ χορός· Ἀμήν.

Καὶ ψαλλομένων τῶν ἀποστίχων ὑποστρέφομεν πάντες εἰς τὸν ναόν· ὁ δὲ ἱερεὺς ἀποθέσας τὴν εἰκόνα εἰς τὸ προσκυνητάριον εἰσέρχεται μετὰ τοῦ διακόνου εἰς τὸ Ἱερόν.

* * *

## εἰς τὸν στίχον τοῦ προφήτου

Τῶν οὐρανίων ταγμάτων. Ἦχος ᾳ Πα




Μὴ ἅπτεσθε τῶν χριστῶν μου καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.



ω γι ι ον

Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Δ ι πλην την χα ριν ε δε ε ξω τȣ Η λι ȣ θαυ

μα ςως με γα λυν θεις ως φοι νιξ ευ θα λης της ε

ρη μȣ θαυ μα των και γαρ βρυ εις α ειρ ρȣς κρȣ νȣς

νε μων πα α σιν ι α μα τα τοις προ σαι τȣ σι την

χα ριν σȣ πολ λα χως Ε λισ σαι ε με γα λω ω

νυ υ με

δόξα τοῦ προφήτου, καὶ νῦν τῆς ἑορτῆς

Ἦχος Νη

Δ ο ο ξα Πα α τρι ι ι και Υι υι ω και α γι ω

Πνε ε ε ευ μα α α α τι

Τ ων προ φη των τους α α κραι μο ο νας και παμ

φα εις φω ω στη η ρας της οι οι κου ου με ε ε νη ης

εν υ μνοις τι μη η σω μεν πι ι στοι Η λι ι αν

και Ε λι ισ σαι αι αι ον και Χρι στω εκ βο η η


σω μεν χαρ μο ο ο ο νι ι ι ι κως ε ευ σπλαγ
χνε Κυ υ υ ρι ι ι ι ε πα ρα σχου τω ω
ω ω λα ω ω ω σου ου ι κε σι ι ι αι αις των
προ φη η η τω ω ω ων σου α α φε σι ιν α
μαρ τι ι ων και αι το με ε ε γα ε ε ε ε
λε ε ε ε ος
Ἦχος Πα
Κ αι νυ υ υ υν και αι αι α α ει και εις
τȣ ȣ ȣς αι αι ω ω ω νας των αι ω ω ω
νων α α α μην
Α νε βη ο Θε ο ος εν α α λα α λα
α α αγ μω Κυ ρι ος εν φω νη η η σα αλ
πι ι ιγ γος του α νυ ψω ω ω σαι την πε σου ου
ου σαν ει κο ο να του ου Α α α δαμ και α
πο στει λαι Πνε ευ μα Πα α ρα α κλη η η η τον




## ΝΥΝ ΑΠΟΛΥΕΙΣ-ΤΡΙΣΑΓΙΟΝ-ΑΠΟΛΥΤΙΚΙΑ

Μετὰ τὰ ἀπόστιχα λέγεται
ὑπὸ τοῦ προεστῶτος ἢ τοῦ ἱερέως ἡ
Ὠδὴ Συμεὼν τοῦ θεοδόχου. (Λουκ. β΄ 29-32)

Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Καὶ ψάλλονται τὰ ἀπολυτίκια.

**ἀπολυτίκια τῆς ἑορτῆς,**
**τοῦ προφήτου,**
**Θεοτόκε παρθένε,**
**καὶ εὐλόγησις τῶν ἄρτων.**

Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος Δι




Δόξα. Τοῦ Προφήτου.

Τῇ κλήσει προσέδραμες, τῇ τοῦ Θεσβίτου θερμῶς, καὶ πλήρης γεγένησαι, τῶν θεϊκῶν δωρεῶν, λαμπρότητι βίου σου· ὅθεν ἐθαυμαστώθης, Ἐλισσαῖε Προφῆτα, θαύμασι παραδόξοις, ὡς θεράπων Κυρίου· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε Παρθένε, τὸ «Πολίτικον».

Ἦχος Πα






Καὶ γίνεται ἡ Εὐλόγησις τῶν ἄρτων.

Ὁ διάκονος· Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ χορός· Κύριε, ἐλέησον.

Ὁ ἱερεύς·

Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ εὐλογήσας τοὺς πέντε ἄρτους ἐν τῇ ἐρήμῳ, καὶ ἐξ αὐτῶν πεντακισχιλίους ἄνδρας χορτάσας, Αὐτός εὐλόγησον καὶ τοὺς ἄρτους τούτους, τὸν σίτον, τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ πλήθυνον αὐτὰ ἐν τῇ ἁγία Ἐκκλησία, τῇ πόλει (Μονῇ, Κώμῃ) ταύτῃ, ἐν τοῖς οἴκοις τῶν ἑορταζόντων καὶ εἰς τὸν κόσμον σου ἅπαντα· καὶ τοὺς ἐξ αὐτῶν μεταλαμβάνοντας πιστοὺς δούλους σου ἁγίασον.

Ὅτι σὺ εἶ ὁ εὐλογῶν καὶ ἁγιάζων τὰ σύμπατα, Χριστέ ὁ Θεός ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ χορός· Ἀμήν.

Ὁ ἀναγνώστης·

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον * ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (ἐκ γ´)

Ψαλμὸς λγ´ (33).

Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.

Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου· ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.

Μεγαλύνατε τὸν Κύριον σὺν ἐμοί, καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου καὶ ἐκ πασῶν τῶν θλίψεών μου ἐῤῥύσατό με.
Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.
Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος· μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.
Φοβήθητε τὸν Κύριον πάντες οἱ ἅγιοι αὐτοῦ· ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν·

Πλούσιοι ἐπτώχευσαν. Δοσιθέου Κατουνακιώτου.

Ἦχος Ζω



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ
## Ο ΕΞΑΨΑΛΜΟΣ - ΑΙ ΕΥΧΑΙ

Καὶ ἀναγινώσκει ὁ προεστὼς (ἢ ὁ ἀναγνώστης) τὸν Ἑξάψαλμον.

Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. (τρίς)

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. (δίς)

### Ψαλμὸς γ΄ (3).

Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾿ ἐμέ.

Πολλοὶ λέγουσι τῇ ψυχῇ μου· Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ· δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου.

Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

Καί πάλιν.

Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

### Ψαλμὸς λζ΄ (37).

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾿ ἐμὲ τὴν χεῖρά σου.

Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾿ ἐμέ.

Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.

Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους, ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων καὶ οὐκ ἔστιν ἴασις

ἐν τῇ σαρκί μου.
Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.
Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ᾿ ἐμοῦ.
Οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.
Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων, καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.
Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα, σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου.
Ὅτι εἶπον· Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ᾿ ἐμὲ ἐμεγαλοῤῥημόνησαν.
Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.
Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.
Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.
Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾿ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε, τῆς σωτηρίας μου.

### Καὶ πάλιν.

Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾿ ἐμοῦ.
Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

## Ψαλμὸς ξβ΄ (62).

Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.
Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου.
Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.
Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου, καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.
Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δέ ἀντελάβετο ἡ δεξιά σου.
Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς· παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ, ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

Καὶ πάλιν.

Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.
Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου· ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

Καὶ τὰ ἑξῆς ἄνευ μετανοιῶν·

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός (τρίς).
Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ψαλμὸς πζ´ (87).

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.
Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδῃ ἤγγισε.
Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον, ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.
Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.
Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.
Ἐπ᾿ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾿ ἐμέ.
Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾿ ἐμοῦ, ἔθεντό με βδέλυγμα ἑαυτοῖς.
Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν

ἀπὸ πτωχείας.
Ἐκέκραξα πρὸς σέ, Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου.
Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι;
Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;
Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;
Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.
Ἵνα τί, Κύριε, ἀπωθῇ τὴν ψυχήν μου; ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾿ ἐμοῦ;
Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.
Ἐπ᾿ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.
Ἐμάκρυνας ἀπ᾿ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

### Καὶ πάλιν.

Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.
Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

### Ψαλμὸς ρβ´ (102).

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.
Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.
Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.
Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις.
Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.
Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.
Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.

Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν· ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμεν.
Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει.
Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος, ἐπὶ τοὺς φοβουμένους αὐτόν.
Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.
Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν.

Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

## Ψαλμὸς ρμβ´ (142).

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.
Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.
Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.
Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.
Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.
Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.
Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγώ δοῦλός σού εἰμι.

Καὶ πάλιν.

Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. (δίς)

Εἶτα·

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.
Καὶ τὰ ἑξῆς μετὰ μετανοιῶν γ΄, ἤτοι κεφαλοκλισιῶν καὶ σταυρῶν.
Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. (ἐκ γ΄)
Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Δι




Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.




## Ἀπολυτίκια τῆς ἑορτῆς, τοῦ προφήτου, τῆς ἑορτῆς.

Ἦχος Δι




Δόξα. Τοῦ Προφήτου.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τῇ κλήσει προσέδραμες, τῇ τοῦ Θεσβίτου θερμῶς, καὶ πλήρης γεγένησαι, τῶν θεϊκῶν δωρεῶν, λαμπρότητι βίου σου· ὅθεν ἐθαυμαστώθης, Ἐλισσαῖε Προφῆτα, θαύμασι παραδόξοις, ὡς θεράπων Κυρίου· ᾧ πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἦχος Δι






## Καθίσματα τοῦ προφήτου, δόξα καὶ νῦν τῆς ἑορτῆς

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος γ΄. Τὴν ὡραιότητα.

Ῥεῖθρα ποτάμια, τῇ μηλωτῇ Ἠλιού, μάκαρ διέτεμες, καὶ διεπέρασας, ἀβρόχοις ἴχνεσί ποτε, Ἐλισσαῖε Προφῆτα, παῖδα δὲ ἀνέστησας γυναικὸς Σωμανίτιδος, ἅλσὶν ἰάσω τὰ πικρά, Ἰεριχοῦντος ὕδατα· διό σε μακαρίζομεν πόθῳ, τὴν μνήμην τὴν σὴν ἐπιτελοῦντες.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, ἦχος Γα




Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Προφήτην θαυμαστόν, ἔδειξέ σε τῷ κόσμῳ, διπλῇ ἐν σοὶ σοφέ, ἐνοικήσασα ἄφνω, ἡ χάρις τοῦ Πνεύματος, εὑραμένη ἀμόλυντον καὶ ἀκήρατον, τὴν σὴν καρδίαν θεόφρον· ὅθεν ἔλαμψας, ταῖς ἀστραπαῖς τῶν θαυμάτων, εἰς κόσμον τὸν ἅπαντα.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Τοῦ λίθου σφραγισθέντος. Ἦχος Πα




## Πολυέλεος Δοῦλοι Κύριον, Ἐξομολογεῖσθε (κολλυβαδικά), Ἐκλογὴ ΙΑ εἰς προφήτας

### Ὁ Πολυέλεος.

Ψαλμὸς πρῶτος.

Εἰς μέλος σύντομον. Ἦχος Πα




δȣ λοι Κυ ρι ι ι ο ον Αλ λη λȣ ȣ ι ι ι α
Ο ι ε στω τες εν οι οι κω Κυ ρι ι ου εν αυ λαις
οι κȣ Θε ου η η η μω ων Αλ λη λȣ ȣ ι ι ι
α
Α ι νει τε τον Κυ ρι ον ο τι α γα θο ος Κυ
ρι ι ι ο ος Αλ λη λȣ ȣ ι ι ι α
Ψ α λα τε τω ο νο μα τι αυ του ου ο τι κα α
λο ον Αλ λη λȣ ȣ ι ι ι α
Ο ο τι τον Ι α ξωβ ε ξε λε ξα το ε αυ
τω ο Κυ ρι ι ι ο ος Αλ λη λȣ ȣ ι ι ι α
Ι σ ρα ηλ εις πε ρι ου σι α σμο ον ε α αυ τω
ω Αλ λη λȣ ȣ ι ι ι α
Ο τι ε γω ε γνω κα ο τι με γας ο Κυ ρι
ι ι ο ος Αλ λη λȣ ȣ ι ι ι α
Κ αι ο Κυ ρι ος η μων πα ρα παν τας τȣς Θε ε
ȣ ȣς Αλ λη λȣ ȣ ι ι ι α


Π αν τα ο ο ο σα η θε λη σεν ο Κυ ρι ος ε
ποι η σεν εν τω ου ρα νω και εν τη η γη η Αλ
λη λȣ ȣ ι ι ι α
Ε ν ταις θα λα α ασ σαις και εν πα σαις ταις α βυ υ
υ υσ σοι οις Αλ λη λȣ ȣ ι ι ι α
Α να α γων νε φε ε ε ε λας εξ ε σχα
α τȣ τη ης γη ης Αλ λη λȣ ȣ ι ι ι α
Α στρα πας εις υ ε τον ε ποι οι η η η σε
εν Αλ λη λȣ ȣ ι ι ι α
Ο ε ξα α γων α νε ε ε ε μȣς εκ θη σαυ
ρω ων α α αυ τȣ ȣ Αλ λη λȣ ȣ ι ι ι α
Ο ς ε πα τα ξε τα πρω το το κα Αι γυ υ υ υ
πτȣ ȣ Αλ λη λȣ ȣ ι ι ι α
Α πο αν θρω πȣ ε ως κτη η η η νȣ ȣς Αλ
λη λȣ ȣ ι ι ι α
Ε ξ α πε στει λε ση μει α και τε ρα τα εν με


σω σȣ Αι γυ υ υ πτε ε Αλ λη λȣ ȣ ι ι ι α
Ε ν Φα ρα ω και εν πα σι τοις δȣ λοις α αυ τȣ ȣ
Αλ λη λȣ ȣ ι ι ι α
Ο ς ε πα τα ξεν ε θνη πο ολ λα α Αλ λη
λȣ ȣ ι ι ι α
Κ αι α πε κτει νε βα σι λεις κρα ται αι ȣ ȣς Αλ
λη λȣ ȣ ι ι ι α
Τ ον Σι ων βα σι λε α των Α μορ ραι αι αι αι ω ων
Αλ λη λȣ ȣ ι ι ι α
Κ αι τον Ωγ βα σι λε α γης Βα α σα αν Αλ λη
λȣ ȣ ι ι ι α
Κ αι πα α α σας τας βα σι λει ας Χα να α α αν
Αλ λη λȣ ȣ ι ι ι α
Κ αι ε δω κε την γην αυ των κλη ρο νο μι ι ι ι
α αν Αλ λη λȣ ȣ ι ι ι α
Κ λη ρο νο μι αν Ισ ρα ηλ λα ω α α αυ τȣ ȣ


Αλ λη λȣ ȣ ι ι ι α
Κ υ ρι ε το ο νο μα α α α σȣ εις τον αι
ω ω ω ω να α Αλ λη λȣ ȣ ι ι ι α
Κ αι το μνη μο συ νο ον σȣ εις γε νε αν και γε
νε ε α αν Αλ λη λȣ ȣ ι ι ι α
Ο ο τι κρι νει Κυ ρι ος τον λα ον α α αυ τȣ
ȣ Αλ λη λȣ ȣ ι ι ι α
Κ αι ε πι τοις δȣ ȣ λοις αυ τȣ πα ρα κλη θη
σε ε ε ται αι Αλ λη λȣ ȣ ι ι ι α
Τ α ει δω λα των ε θνων αρ γυ ρι ον και χρυ σι ι
ον ερ γα χει ρων αν θρω ω ω ω πω ων Αλ λη λȣ ȣ
ι ι ι α
Σ το μα ε χȣ σι και ου λα λη σȣ ȣ ȣ σι ιν Αλ
λη λȣ ȣ ι ι ι α
Ο φθαλ μȣς ε χȣ σι και ȣκ ο ψο ο ον ται αι Αλ
λη λȣ ȣ ι ι ι α


Ω τα ε χȣ σι και ȣκ ε νω τι σθη σο ο ον ται
αι Αλ λη λȣ ȣ ι ι ι α
Ο υ δε γαρ ε στι πνε ε ευ μα εν τω στο μα τι
α αυ τω ων Αλ λη λȣ ȣ ι ι ι α
Ο μοι οι αυ τοις γε νοιν το οι ποι ȣν τες α αυ τα α
Αλ λη λȣ ȣ ι ι ι α
Κ αι πα α αν τες οι πε ποι θο τες επ α αυ τοι οις
Αλ λη λȣ ȣ ι ι ι α
Ο ι κος Ισ ρα ηλ ευ λο γη σα τε τον Κυ ρι ι ι
ο ον Αλ λη λȣ ȣ ι ι ι α
Ο ι κος Α α ρων ευ λο γη σα τε τον Κυ ρι ι ι
ο ον Αλ λη λȣ ȣ ι ι ι α
Ο ι οι κος Λευ ι ευ λο γη σα τε τον Κυ ρι ι ι
ο ον Αλ λη λȣ ȣ ι ι ι α
Ο ι φο βȣ με νοι τον Κυ ρι ον ευ λο γη σα τε τον
Κυ ρι ι ι ο ον Αλ λη λȣ ȣ ι ι ι α




Ψαλμὸς δεύτερος.

Ἦχος Πα




Τ ω ποι η σαν τι θαυ μα σι α με γα λα μο
ο ο νω ω Αλ λη λȣ ι α ο ο τι εις τον αι ω
ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι
α
Τ ω ποι η σαν τι τȣς ȣ ρα νȣ ȣς εν συ νε
ε ε σει ει Αλ λη λȣ ι α ο ο τι εις τον αι ω
ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι
α
Τ ω στε ρε ω σαν τι την γη η ην ε πι των
υ δα α α τω ων Αλ λη λȣ ι α ο ο τι εις τον αι
ω ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι
α
Τ ω ποι η η σαν τι φω ω ω τα με γα λα
μο ο ο νω ω Αλ λη λȣ ι α ο ο τι εις τον αι ω
ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι
α


Τ ον η λι ον εις ε ξȣ σι αν της η με ε ε
ρα ας Αλ λη λȣ ι α ο ο τι εις τον αι ω ω ω να
το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι α
Τ ην σε λη η νην και τȣς α στε ε ρας εις ε ξȣ
σι αν τη ης νυ κτο ος Αλ λη λȣ ι α ο ο τι
εις τον αι ω ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη
λȣ ι ι α
Τ ω πα τα α ξαν τι Αι γυπ τον συν τοις πρω το
το ο ο κοι οις αυ τω ων Αλ λη λȣ ι α ο ο τι
εις τον αι ω ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη
λȣ ι ι α
Κ αι ε ξα γα γο ον τι τον Ισ ρα ηλ εκ με ε
ε σȣ ȣ αυ τω ων Αλ λη λȣ ι α ο ο τι εις τον αι
ω ω ω να το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι
α
Ε ν χει ρι ι κρα ται α και εν βρα χι ι ο νι υ υ


ψη λω ω Αλ λη λȣ ι α ο ο τι εις τον αι ω ω ω
να το ε λε ο ος αυ τȣ ȣ αλ λη λȣ ι ι α
Τ ω κα τα δι ε λο ον τι την Ε ρυ θρα αν
θα λασ σαν εις δι αι ρε ε ε σει εις Αλ λη λȣ ι α
ο ο τι εις τον αι ω ω ω να το ε λε ο ος αυ
τȣ ȣ αλ λη λȣ ι ι α
Ἦχος Ζω ( )
Κ αι δι α γα γο ο ο ον τι ι τον Ι σρα
η ηλ δι α με ε ε σȣ ȣ αυ τη η ης
Α α λλη λȣ ȣ ȣ ι ι ι ι α α
Ο ο τι ι ι εις τον αι ω ω να α α
το ε λε ο ος αυ τȣ ȣ ȣ Α α λλη λȣ ȣ ȣ
ι ι ι ι α α α
Κ αι εκ τι να α ξα αν τι Φα ρα ω ω
και την δυ υ να μι ι ιν αυ τȣ εις θα α α
λα ασ σαν Ε ρυ θρα α αν Α α λλη λȣ ȣ ȣ


ι ι ι ι α α
Ο ο τι ι ι εις τον αι ω ω να α α
το ε λε ο ος αυ τȣ ȣ ȣ Α α λλη λȣ ȣ ȣ
ι ι ι ι α α α α
Τ ω ω δι α γα γον τι τον λα ον αυ τȣ εν
τη ε ρη η η μω ω ω Α α λλη λȣ ȣ ȣ ι
ι ι ι α α
Ο ο τι ι ι εις τον αι ω ω να α α
το ε λε ο ος αυ τȣ ȣ ȣ Α α λλη λȣ ȣ ȣ
